## XXV

Ὅταν γε μὴν τὰ παρεληλυθότα τοῖς χρόνοις εἰσάγῃς ὡς γινόμενα καὶ παρόντα, οὐ διήγησιν ἔτι τὸν λόγον, ἀλλ' ἐναγώνιον πρᾶγμα ποιήσεις. Πεπτωκὼς δέ τις, φησὶν ὁ Ξενοφῶν, ὑπὸ τῷ Κύρου ἵππῳ, καὶ πατούμενος, παίει τῇ μαχαίρᾳ εἰς τὴν γαστέρα τὸν ἵππον *)· ὁ δὲ σφαδάζων ἀποσείεται τὸν Κῦρον, ὁ δὲ πίπτει. Τοιοῦτος ἐν τοῖς πλείστοις ὁ Θουκυδίδης.

## XXVI

Ἐναγώνιος δ' ὁμοίως καὶ ἡ τῶν προσώπων ἀντιμετάθεσις, καὶ πολλάκις ἐν μέσοις τοῖς κινδύνοις ποιοῦσα τὸν ἀκροατὴν δοκεῖν στρέφεσθαι.

Φαίης κἀκμῆτας καὶ ἀτειρέας ἀλλήλοισιν
Ἄντεσθ' ἐν πολέμῳ· ὡς ἐσσυμένως ἐμάχοντο.

Καὶ ὁ Ἄρατος,

Μὴ κείνῳ ἐνὶ μηνὶ περικλύζοιο θαλάσσῃ.

2 Ὧδέ που καὶ ὁ Ἡρόδοτος· Ἀπὸ δὲ Ἐλεφαντίνης πόλεως

*) αὐτοῦ addiderunt M. et reliqui. Abest a Par. Ambr. ed. pr.

ἐναγώνιον, *quod geri videtur*. Cf. 9, 13.

Ξενοφῶν. Cyrop. 7, 1, 18, vbi locus aliter legitur.

Φαίης. Ex Hom. Il. ο, 697 legendum esse Φαίης κ' ἀκμῆτας, adparet. Sed illud Φαίης, vt § 3 γνοίης, nonne nimis tritum est vsu, quam vt figura ἐναγώνιος dici possit?

Ἄρατος, Phaen. 287. Ille ipse locus est, de quo supra